17. THE MINISTRY OF THE BAPTIST (Matt-Mk Identical)

| Matt 3:1-12 | Mark 1:1-8 |
|---|---|
| | *1·1 Ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ υἱοῦ θεοῦ.* |
| *3·1 Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις* | |
| *παραγίνεται* | |
| *Ἰωάννης ὁ βαπτιστὴς* | |
| *κηρύσσων* | |
| *ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας* | |
| *2 καὶ λέγων, Μετανοεῖτε,* | |
| *ἤγγικεν γὰρ* | |
| *ἡ βασιλεία τῶν οὐρανῶν* | |
| *3 οὗτος γάρ ἐστιν ὁ ῥηθεὶς δια* | *1·2 Καθὼς γέγραπται ἐν* |
| *Ἠσαΐου τοῦ προφήτου λέγοντος,* | *τῷ Ἠσαΐᾳ τῷ προφήτῃ,* |
| | *Ἰδοὺ ἀποστέλλω* |
| | *τὸν ἄγγελόν μου* |
| | *πρὸ προσώπου σου* |
| | *ὃς κατασκευάσει τὴν ὁδόν σου·* |
| *Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ,* | *·3 φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ,* |
| *Ἑτοιμάσατε τὴν ὁδὸν κυρίου,* | *Ἑτοιμάσατε τὴν ὁδὸν κυρίου,* |
| *εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.* | *εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ,* |
| | *·4 ἐγένετο* |
| | *Ἰωάννης ὁ βαπτίζων* |
| | *ἐν τῇ ἐρήμῳ* |
| | *καὶ κηρύσσων βάπτισμα μετανοίας* |
| | *εἰς ἄφεσιν ἁμαρτιῶν.* |
| *·4 Αὐτὸς δὲ ὁ Ἰωάννης* | |
| *εἶχεν τὸ ἔνδυμα αὐτοῦ* | |
| *ἀπὸ τριχῶν καμήλου* | |
| *καὶ ζώνην δερματίνην* | |
| *περὶ τὴν ὀσφὺν αὐτοῦ,* | |
| *ἡ δὲ τροφὴ ἦν αὐτοῦ* | |

| Matt 3:1-12 | Mark 1:1-8 |
| --- | --- |
| ἀκρίδες καὶ μέλι ἄγριον. | |
| 5 τότε ἐξεπορεύετο πρὸς αὐτὸν | 5 καὶ ἐξεπορεύετο πρὸς αὐτὸν |
| Ἱεροσόλυμα | |
| καὶ πᾶσα ἡ Ἰουδαία | πᾶσα ἡ Ἰουδαία χώρα |
| | καὶ οἱ Ἱεροσολυμῖται πάντες, |
| καὶ πᾶσα ἡ περίχωρος τοῦ Ἰορδάνου, | |
| 6 καὶ ἐβαπτίζοντο | καὶ ἐβαπτίζοντο |
| ἐν τῷ Ἰορδάνῃ ποταμῷ ὑπ αὐτοῦ | ὑπ αὐτοῦ ἐν τῷ Ἰορδάνῃ ποταμῷ |
| ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. | ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. |
| | 6 καὶ ἦν ὁ Ἰωάννης |
| | ἐνδεδυμένος |
| | τρίχας καμήλου |
| | καὶ ζώνην δερματίνην |
| | περὶ τὴν ὀσφὺν αὐτοῦ, |
| | καὶ ἐσθίων |
| | ἀκρίδας καὶ μέλι ἄγριον. |
| ·7 Ἰδὼν δὲ πολλοὺς τῶν Φαρισαίων καὶ Σαδδουκαίων | |
| ἐρχομένους | |
| ἐπὶ τὸ βάπτισμα αὐτοῦ | |
| εἶπεν αὐτοῖς, | |
| Γεννήματα ἐχιδνῶν, | |
| τίς ὑπέδειξεν ὑμῖν φυγεῖν | |
| ἀπὸ τῆς μελλούσης ὀργῆς | |
| 8 ποιήσατε οὖν καρπὸν | |
| ἄξιον τῆς μετανοίας· | |
| 9 καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς, | |
| Πατέρα ἔχομεν τὸν Ἀβραάμ, | |
| λέγω γὰρ ὑμῖν ὅτι δύναται | |
| ὁ θεὸς ἐκ τῶν λίθων τούτων | |
| ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. | |
| 10 ἤδη δὲ ἡ ἀξίνη πρὸς | |
| τὴν ῥίζαν τῶν δένδρων κεῖται· | |
| πᾶν οὖν δένδρον | |
| μὴ ποιοῦν καρπὸν καλὸν | |
| ἐκκόπτεται | |
| καὶ εἰς πῦρ βάλλεται. | |

| Matt 3:1-12 | Mark 1:1-8 |
|---|---|
| | 7 καὶ ἐκήρυσσεν λέγων, |
| ·11 ἐγὼ μὲν ὑμᾶς βαπτίζω | |
| ἐν ὕδατι εἰς μετάνοιαν· | |
| ὁ δὲ ὀπίσω μου ἐρχόμενος | Ἔρχεται |
| ἰσχυρότερός μού ἐστιν, | ὁ ἰσχυρότερός μου ὀπίσω μου, |
| οὗ οὐκ εἰμὶ ἱκανὸς | οὗ οὐκ εἰμὶ ἱκανὸς |
| | κύψας λῦσαι τὸν ἱμάντα |
| τὰ ὑποδήματα βαστάσαι· | τῶν ὑποδημάτων αὐτοῦ· |
| | 8 ἐγὼ ἐβάπτισα ὑμᾶς ὕδατι, |
| αὐτὸς ὑμᾶς βαπτίσει | αὐτὸς δὲ βαπτίσει ὑμᾶς |
| ἐν πνεύματι ἁγίῳ καὶ πυρί· | ἐν πνεύματι ἁγίῳ. |
| 12 οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, | |
| καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, | |
| καὶ συνάξει τὸν σῖτον αὐτοῦ | |
| εἰς τὴν ἀποθήκην, | |
| τὸ δὲ ἄχυρον κατακαύσει | |
| πυρὶ ἀσβέστῳ. | |

88 words out of 366 words = 7%